ΤΗ Κ΄ ΤΟΥ ΜΗΝΟΣ ΟΚΤΩΒΡΙΟΥ

Μνήμη τοῦ ἁγίου Μεγαλομάρτυρος Ἀρτεμίου (†326), τῆς ὁσίας Ματρώνης τῆς Χιοπολίτιδος (†462) καὶ τοῦ ὁσίου Πατρὸς ἡμῶν Γερασίμου τοῦ ἐν Κεφαλληνίᾳ (†1581).

Εἰ τύχοι ἡ μνήμη τῶν Ἁγίων ἐν πάσῃ ἄλλῃ ἡμέρᾳ πλὴν Κυριακῆς, ἐν τῷ Ἑσπερινῷ προηγοῦνται τὰ πρῶτα γ΄ Στιχηρὰ τοῦ ἁγίου Ἀρτεμίου, εἶτα ὅπου μὲν ἑορτάζεται ἡ ἁγία Ματρώνα ἔπονται τὰ γ΄ αὐτῆς Στιχηρά, ὅπου δὲ ὁ ἅγιος Γεράσιμος, ἔπονται τὰ τοῦ Ἁγίου τούτου· ἐννοεῖται ὅτι πάντα τὰ Δοξαστικὰ λέγονται ἐκ τοῦ ἑορταζομένου Ἁγίου ἢ τῆς Ἁγίας. Τὰς ἰδιαιτέρας δὲ Ἀκολουθίας αὐτῶν ὅρα εἰς τὰς ἰδιαιτέρας φυλλάδας, καὶ τὴν τοῦ ἁγίου Ἀρτεμίου ἐν τῷ Μηναίῳ.

Ἀκολουθία ἄνευ Παρακλητικῆς καὶ Σταυροθεοτοκίων.

* * * * *

ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετὰ τὸν Ἑξάψαλμον,

Συναπτὴ μεγάλη, μεθ᾽ ἣν ἐκφώνησις·

Ὅτι πρέπει σοι πᾶσα δόξα...

Ἦχος δ΄ Δι



Στίχ. α΄. Ἐξομολογεῖσθε τῷ Κυρίῳ, ὅτι ἀγαθός, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ.

Στίχ. β΄. Πάντα τὰ ἔθνη ἐκύκλωσάν με, καὶ τῷ ὀνόματι Κυρίου ἠμυνάμην αὐτούς.

Στίχ. γ΄. Παρὰ Κυρίου ἐγένετο αὕτη, καί ἐστι θαυμαστὴ ἐν ὀφθαλμοῖς ἡμῶν.



Ἀπολυτίκια.

Τοῦ Μάρτυρος Ἀρτεμίου.

Ἦχος δ Δι



Δόξα.

Ἀπολυτίκιον τοῦ Ὁσίου Γερασίμου.

Ἦχος δ Πα





Καὶ νῦν. Θεοτοκίον.



Συναπτὴ μικρά, μεθ᾽ ἣν ἐκφώνησις·

Ὅτι σὸν τὸ κράτος...

* * *

ΚΑΘΙΣΜΑΤΑ

Μετὰ τὴν α΄ Στιχολογίαν, Κάθισμα.

Τοῦ Ἁγίου Ἀρτεμίου.

Ἦχος α΄. Τὸν τάφον σου Σωτήρ.

Βασάνων ἀλγεινῶν, ἀνδρικῶς ὑπομείνας, τὴν ἄπονον ζωήν, ἐκομίσω παμμάκαρ, Ἀρτέμιε ἔνδοξε, ἀθλητῶν ἐγκαλλώπισμα· ὅθεν σήμερον, ἡ τοῦ Χριστοῦ Ἐκκλησία, ἑορτάζουσα τὴν σὴν πανίερον μνήμην, ἐνθέως ἀγάλλεται.

Δόξα.

Τοῦ Ἁγίου Γερασίμου.

Ἦχος α΄. Τὸν τάφον σου Σωτήρ.

Νεόφωτος ἀστήρ, τῇ Χριστοῦ Ἐκκλησίᾳ, ἐφάνης ἀληθῶς, ἀρετῶν

τῇ ἀσκήσει, καὶ θαύμασιν ἑκάστοτε, καταυγάζεις τὰ πέρατα· ὅθεν σήμερον, τὴν φωτοφόρον σου μνήμην, ἑορτάζοντες, πάτερ Γεράσιμε πόθῳ, ὑμνοῦμεν σε Ὅσιε.

Καὶ νῦν. Θεοτοκίον.

Παρθένος ἀληθῶς, πρὸ τοῦ τόκου Παρθένε, παρθένος ἀληθῶς, ἐν τῷ τόκῳ Παρθένε, παρθένος ἀειπάρθενος, μετὰ τόκον διέμεινας· ὅθεν δέομαι, ὡς ἡγεμὼν τῶν παρθένων, παρθενεύειν με, νοΐ ψυχῇ σώματί τε, ἐνίσχυσον Δέσποινα.

Μετὰ τὴν β΄ Στιχολογίαν, Κάθισμα.

Τοῦ Ἁγίου Ἀρτεμίου.

Ἦχος πλ. α΄. Τὸν συνάναρχον Λόγον.

Ἀρτεμίου τοὺς πόνους ἀνευφημήσωμεν, ἱερῶς ἀθροισθέντες ἐν τῷ πανσέπτῳ ναῷ, τοῦ ἀθλοφόρου ψαλμικῶς, ὦ φιλέορτοι, μακαρίσωμεν πιστῶς, καὶ ἐκβοήσωμεν αὐτῷ· ὁπλῖτα τῆς εὐσεβείας, μὴ διαλείπῃς πρεσβεύων, ὑμῖν δοθῆναι εἰρήνην καὶ μέγα ἔλεος.

Δόξα.

Τοῦ Ἁγίου Γερασίμου.

Ἦχος γ΄. Τὴν ὡραιότητα.

Ἅπαν τὸ φρόνημα, σαρκὶ ἐμάρανας, βίου ὀρθότητα, ἀσκήσας ἄριστα, καὶ τῶν καμάτων ἀμοιβήν, τὰ θαύματα ἐκομίσω, ὅθεν καὶ τὸ σκῆνός σου, τὸ σεπτὸν καὶ σεβάσμιον, βρύει τὰ ἰάματα, τοῖς εἰς μετὰ πίστεως προσπίπτουσι τῇ θείᾳ σκέπῃ, Πάτερ θέοφρον Γεράσιμε.

Καὶ νῦν. Θεοτοκίον.

Θεομακάριστε, Μήτηρ ἀνύμφευτε, τὴν ἀσθενοῦσαν μου, ψυχὴν θεράπευσον, ὅτι συνέχομαι δεινῶς, τοῖς πταίσμασιν ὁ ἄθλιος· ὅθεν καὶ κραυγάζω σοι, στεναγμῷ τῆς καρδίας μου· Δέξαι με Πανάμωμε, τὸν πολλὰ πλημμελήσαντα, ἵνα ἐν παῤῥησίᾳ βοῶ σοι· Χαῖρε ἡ Κεχαριτωμένη.

Μετὰ τὸν Πολυέλεον. Κάθισμα.

Τοῦ Ἁγίου Ἀρτεμίου.

Ἦχος πλ. δ΄. Τὴν σοφίαν καὶ λόγον.

Ἐξ οἰκείων αἱμάτων ὁ ἀθλητής, ἑαυτῷ πορφυρίδα βάψαι καλῶς, ὡραῖος τοῖς μίγμασι, τῷ Χριστῷ προσενήνεκται, τρισηλίου δόξης, φωτὶ λαμπρυνόμενος· καὶ ἡμᾶς φωτίζων, αὐτὸν μακαρίζοντες· ὅθεν τὴν φωσφόρον, καὶ σεπτὴν αὐτοῦ μνήμην, τελοῦντες λαμβάνομεν, ἰαμάτων χαρίσματα, ᾧ ἐν πίστει βοήσωμεν, πρέσβευε Χριστῷ τῷ Θεῷ, ὑπὲρ πάντων τῶν πόθῳ τελούντων τὴν φωσφόρον καϊ εὔσημον μνήμην σου.

Δόξα. Ὅμοιον.

Τοῦ Ἁγίου Γερασίμου.

Ἐγκρατείᾳ καὶ πόνοις καὶ προσευχαῖς, τὴν ψυχήν σου κοσμήσας θεοπρεπῶς, γέγονας συμμέτοχος τῶν Ἀγγέλων μακάριε, καὶ τῶν θαυμάτων ὄντως χαρίσματα ἔλαβες τοῦ ἰᾶσθαι τάς νόσους τῶν πίστει τιμώντων σε, ὅθεν καὶ δαιμόνων, ἀπελαύνεις τὰ πλήθη, καὶ παρέχεις ἰάματα τοῖς ἀνθρώποις Μακάριε. Θεοφόρε Γεράσιμε, πρέσβευε Χριστῷ τῷ Θεῷ τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς ἑορτάζουσι πόθῳ τὴν ἁγίαν μνήμην σου.

Καὶ νῦν. Θεοτοκίον.

Τοῦ ἡλίου νεφέλη τοῦ νοητοῦ, θείου φέγγους λυχνία χρυσοφαής, ἄσπιλε, ἀμόλυντε, παναμώμητε Δέσποινα, τὴν σκοτεινὴν ψυχήν μου τυφλώττουσαν πάθεσι, τῆς ἀπαθείας αἴγλῃ καταύγασον δέομαι, καὶ μεμολυσμένην, τὴν καρδίαν μου πλῦνον, ῥοαῖς κατανύξεως, μετανοίας τε δάκρυσι, καὶ τοῦ ῥύπου με κάθαρον, ἵνα πόθῳ κραυγάζω σοι· Θεοτόκε πανύμνητε, πρέσβευε τῷ σῷ Υἱῷ καὶ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι τοῖς εὐσεβῶς προσκυνοῦσι τὸν πανάγιον τόκον σου.

* * *

ΑΝΑΒΑΘΜΟΙ, ΠΡΟΚΕΙΜΕΝΟΝ

Οἱ Ἀναβαθμοί· τὸ α΄ Ἀντίφωνον τοῦ δ΄ ἤχου.

Ἦχος Βου ξ




ο ος γαρ πυ υ ρι ι ι ι ι ε ε σε ε ε
σθε ε ε ε ε α πε ξη ρα με ε ε νοι οι
Δ ο ξα Πα τρι και Υι ω ω και αι Α α γι
ι ω Πνε ευ μα α τι ι
Α γι ω Πνευ μα τι ι ι πα α α σα ψυ υ
χη ζω ω ου ου ου ται αι και κα α θα αρ σει
υ ψου ου ου ται αι λα α αμ πρυ υ νε ε ε ται
τη η Τρι ι α δι κη η μο ο να α α δι ι ι
ι ι Ι ε ε ρο κρυ υ φι ι ι ω ως
Κ αι νυν και α ει και εις τους αι ω νας των
αι ω ω νων α α μη ην
Α γι ω Πνευ μα α τι ι α να α βλυ υ υ
ζει τα α τη η ης χα α α α ρι το ος ρει
ει ει θρα α αρ δε ε ε ε ε ευ ο ο ο
ο ον τα α α α α πα α σαν τη ην κτι ι ι σι ι
ι ι ιν προς ζω ω ω ο γο ο νι ι ι



Προκείμενον. Εἰς μνήμας Ὁσίων



Στίχ. α΄. Μακάριος ἀνὴρ ὁ φοβούμενος τὸν Κύριον,





Στίχ. β΄. Καυχήσονται ὅσιοι ἐν δόξῃ





ΤΑΞΙΣ ΕΩΘΙΝΟΥ ΕΥΑΓΓΕΛΙΟΥ

Ὁ διάκονος· Τοῦ Κυρίου δεηθῶμεν.
Κύριε, ἐλέησον.
Ὁ ἱερεύς· Ὅτι ἅγιος εἶ, ὁ Θεὸς ἡμῶν, ...
Ἀμήν.

Σταθερὸν Προκείμενον ὄρθρου.
Ψαλμὸς ρν΄ (150).

Ἦχος πλ. Δι



Στίχ. α΄. Αἰνεῖτε τὸν Θεὸν ἐν τοῖς ἁγίοις αὐτοῦ, αἰνεῖτε αὐτὸν ἐν στερεώματι τῆς δυνάμεως αὐτοῦ.



Στίχ. β΄. Αἰνεῖτε αὐτὸν ἐν κυμβάλοις εὐήχοις, αἰνεῖτε αὐτὸν ἐν κυμβάλοις ἀλαλαγμοῦ.



Εὐαγγέλιον.

Ὁ διάκονος· Καὶ ὑπὲρ τοῦ καταξιωθῆναι ἡμᾶς τῆς ἀκροάσεως τοῦ ἁγίου Εὐαγγελίου Κύριον τὸν Θεὸν ἡμῶν ἱκετεύσωμεν.
Κύριε, ἐλέησον. (γ΄)
Ὁ διάκονος· Σοφία· ὀρθοί· ἀκούσωμεν τοῦ ἁγίου Εὐαγγελίου.
Ὁ ἱερεύς· Εἰρήνη πᾶσι.
Καὶ τῷ πνεύματί σου.
Ὁ ἱερεύς· Ἐκ τοῦ κατὰ Λουκᾶν ἁγίου Εὐαγγελίου τὸ ἀνάγνωσμα. (Ϛ΄ 17-23)

(Ὀσιακόν, τῆς ΙΖ΄ Ἰανουαρίου, ὅπερ ζήτει
τῇ Παρασκευῇ τῆς Β΄ ἑβδομάδος Λουκᾶ).

Ὁ διάκονος· Πρόσχωμεν.
Δόξα σοι, Κύριε, δόξα σοι.
Ὁ ἱερεὺς ἀπὸ τῶν βημοθύρων ἀναγινώσκει τὸ Εὐαγγέλιον τοῦ Ὄρθρου.
Τῷ καιρῷ ἐκείνῳ, ἔστη ὁ Ἰησοῦς ἐπὶ τόπου πεδινοῦ, καὶ ὄχλος μαθητῶν αὐτοῦ, καὶ πλῆθος πολὺ τοῦ λαοῦ ἀπὸ πάσης τῆς Ἰουδαίας καὶ Ἱερουσαλὴμ καὶ τῆς παραλίου Τύρου καὶ Σιδῶνος, οἳ ἦλθον ἀκοῦσαι αὐτοῦ καὶ ἰαθῆναι ἀπὸ τῶν νόσων αὐτῶν, καὶ οἱ ὀχλούμενοι ἀπὸ πνευμάτων ἀκαθάρτων, καὶ ἐθεραπεύοντο.

Καὶ πᾶς ὁ ὄχλος ἐζήτει ἅπτεσθαι αὐτοῦ, ὅτι δύναμις παρ᾽ αὐτοῦ ἐξήρχετο καὶ ἰᾶτο πάντας. Καὶ αὐτὸς ἐπάρας τοὺς ὀφθαλμοὺς αὐτοῦ εἰς τοὺς μαθητὰς αὐτοῦ ἔλεγε· μακάριοι οἱ πτωχοί, ὅτι ὑμετέρα ἐστὶν ἡ βασιλεία τοῦ Θεοῦ. Μακάριοι οἱ πεινῶντες νῦν, ὅτι χορτασθήσεσθε. Μακάριοι οἱ κλαίοντες νῦν, ὅτι γελάσετε. Μακάριοί ἐστε, ὅταν μισήσωσιν ὑμᾶς οἱ ἄνθρωποι, καὶ ὅταν ἀφορίσωσιν ὑμᾶς καὶ ὀνειδίσωσι καὶ ἐκβάλωσι τὸ ὄνομα ὑμῶν ὡς πονηρὸν ἕνεκα τοῦ υἱοῦ τοῦ ἀνθρώπου. Χάρητε ἐν ἐκείνῃ τῇ ἡμέρᾳ καὶ σκιρτήσατε· ἰδοὺ γὰρ ὁ μισθὸς ὑμῶν πολὺς ἐν τῷ οὐρανῷ.

Δόξα σοι, Κύριε, δόξα σοι.

Ὁ Προεστὼς ἢ ὁ Ἀναγνώστης τὸν ν΄ ψαλμόν, χύμα.

Ἐλέησόν με, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου ἐξάλειψον τὸ ἀνόμημά μου.

Ἐπὶ πλεῖον πλῦνόν με ἀπὸ τῆς ἀνομίας μου καὶ ἀπὸ τῆς ἁμαρτίας μου καθάρισόν με.

Ὅτι τὴν ἀνομίαν μου ἐγὼ γινώσκω, καὶ ἡ ἁμαρτία μου ἐνώπιόν μού ἐστι διὰ παντός.

Σοὶ μόνῳ ἥμαρτον καὶ τὸ πονηρὸν ἐνώπιόν σου ἐποίησα, ὅπως ἂν δικαιωθῇς ἐν τοῖς λόγοις σου καὶ νικήσῃς ἐν τῷ κρίνεσθαί σε.

Ἰδοὺ γὰρ ἐν ἀνομίαις συνελήφθην, καὶ ἐν ἁμαρτίαις ἐκίσσησέ με ἡ μήτηρ μου.

Ἰδοὺ γὰρ ἀλήθειαν ἠγάπησας, τὰ ἄδηλα καὶ τὰ κρύφια τῆς σοφίας σου ἐδήλωσάς μοι.

Ῥαντιεῖς με ὑσσώπῳ, καὶ καθαρισθήσομαι· πλυνεῖς με, καὶ ὑπὲρ χιόνα λευκανθήσομαι.

Ἀκουτιεῖς μοι ἀγαλλίασιν καὶ εὐφροσύνην· ἀγαλλιάσονται ὀστέα τεταπεινωμένα.

Ἀπόστρεψον τὸ πρόσωπόν σου ἀπὸ τῶν ἁμαρτιῶν μου καὶ πάσας τὰς ἀνομίας μου ἐξάλειψον.

Καρδίαν καθαρὰν κτίσον ἐν ἐμοί, ὁ Θεός, καὶ πνεῦμα εὐθὲς ἐγκαίνισον ἐν τοῖς ἐγκάτοις μου.

Μὴ ἀπορρίψῃς με ἀπὸ τοῦ προσώπου σου, καὶ τὸ Πνεῦμά σου τὸ ἅγιον μὴ ἀντανέλῃς ἀπ᾽ ἐμοῦ.

Ἀπόδος μοι τὴν ἀγαλλίασιν τοῦ σωτηρίου σου, καὶ πνεύματι ἡγεμονικῷ στήριξόν με.

Διδάξω ἀνόμους τὰς ὁδούς σου, καὶ ἀσεβεῖς ἐπὶ σὲ ἐπιστρέψουσι.

Ῥῦσαί με ἐξ αἱμάτων, ὁ Θεός, ὁ Θεὸς τῆς σωτηρίας μου· ἀγαλλιάσεται ἡ γλῶσσά μου τὴν δικαιοσύνην σου.

Κύριε, τὰ χείλη μου ἀνοίξεις, καὶ τὸ στόμα μου ἀναγγελεῖ τὴν αἴνεσίν σου.

Ὅτι, εἰ ἠθέλησας θυσίαν, ἔδωκα ἄν· ὁλοκαυτώματα οὐκ εὐδοκήσεις.
Θυσία τῷ Θεῷ πνεῦμα συντετριμμένον· καρδίαν συντετριμμένην καὶ τεταπεινωμένην ὁ Θεὸς οὐκ ἐξουδενώσει.
Ἀγάθυνον, Κύριε, ἐν τῇ εὐδοκίᾳ σου τὴν Σιών, καὶ οἰκοδομηθήτω τὰ τείχη Ἰερουσαλήμ.
Τότε εὐδοκήσεις θυσίαν δικαιοσύνης, ἀναφορὰν καὶ ὁλοκαυτώματα.
Τότε ἀνοίσουσιν ἐπὶ τὸ θυσιαστήριόν σου μόσχους.

Ἦχος Δι



Εἶτα, Ἰδιόμελον.

Ἦχος Πα

Ἐλέησόν με, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου, καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου



Μέλος Δοσιθέου Κατουνακιώτου.



Σῶσον, ὁ Θεός, τὸν λαόν Σου... Κύριε, ἐλέησον (ιβ΄). Ἐλέει καὶ οἰκτιρμοῖς... Ἀμήν.

* * *

ΟΙ ΚΑΝΟΝΕΣ

Οἱ Κανόνες τῆς Θεοτόκου καὶ τῶν Ἁγίων.

Ὁ Κανὼν τῆς Θεοτόκου.

(ἐὰν ψαλῇ εἰς Ϛ΄, τότε ὁ εἱρμὸς δευτεροῦται).

Ὠδὴ α΄. Ὁ εἱρμός. Ἦχος πλ. δ΄.

Ὑγρὰν διοδεύσας ὡσεὶ ξηράν, καὶ τὴν αἰγυπτίαν, μοχθηρίαν διαφυγών, ὁ Ἰσραηλίτης ἀνεβόα· Τῷ Λυτρωτῇ καὶ Θεῷ ἡμῶν ᾄσωμεν.

Τροπάρια.

Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Πολλοῖς συνεχόμενος πειρασμοῖς, πρὸς σὲ καταφεύγω, σωτηρίαν ἐπιζητῶν· ὦ Μῆτερ τοῦ Λόγου καὶ Παρθένε, τῶν δυσχερῶν καὶ δεινῶν με διάσωσον.

Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Παθῶν με ταράττουσι προσβολαί, πολλῆς ἀθυμίας ἐμπιπλῶσαί μου τὴν ψυχήν· εἰρήνευσον Κόρη τῇ γαλήνῃ, τῇ τοῦ Υἱοῦ καὶ Θεοῦ σου Πανάμωμε.

Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Σωτῆρα τεκοῦσά σε καὶ Θεόν, δυσωπῶ Παρθένε, λυτρωθῆναί με τῶν δεινῶν· σοὶ γὰρ νῦν προσφεύγων ἀνατείνω, καὶ τὴν ψυχὴν καὶ τὴν διάνοιαν.

Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Νοσοῦντα τὸ σῶμα καὶ τὴν ψυχήν, ἐπισκοπῆς θείας, καὶ προνοίας τῆς παρὰ σοῦ, ἀξίωσον μόνη Θεομῆτορ, ὡς ἀγαθὴ ἀγαθοῦ τε λοχεύτρια.

Κανὼν τοῦ Ἁγίου Ἀρτεμίου, οὗ ἡ Ἀκροστιχίς·

Τὴν σὴν νέμοις μοι πλουσίαν χάριν, μάκαρ. Ἰωσήφ.

Ὠδὴ α΄. Ἦχος β΄. Ἐν βυθῷ κατέστρωσε.

Στίχ. Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Τὸν ἀγῶνα Μάρτυς τὸν καλόν, ὡς ἀγωνισάμενος, καὶ τοὺς λαμπροὺς στεφάνους κομισάμενος, τῷ φωτὶ παρίστασαι, φωτιζόμενος κατὰ μέθεξιν ἄυλον· ὅθεν δυσωποῦμεν, φώτισον ἡμᾶς ταῖς ἱκεσίαις σου.

Στίχ. Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Ἡ φαιδρά σου Μάρτυς ἑορτή, πάντας συνεκάλεσε, χαρμονικῶς εἰς πανδαισίαν σήμερον, προθεῖσα τοὺς ἄθλους σου, τὰ παλαίσματα, καὶ τὴν ἀνδρείαν ἔνστασιν· ὧν κατατρυφῶντες, πίστει σε καὶ πόθῳ μακαρίζομεν.

Στίχ. Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Νεκρωθέντα μάκαρ ἐν σταυρῷ, τὸν ἀκατανόητον, σωματικῶς κατανοήσας Κύριον, τῆς ζωῆς τὸν αἴτιον, ἐθελούσιον ἐπεπόθησας νέκρωσιν, τὴν διὰ βασάνων· ὅθεν ἀθανάτου δόξης ἔτυχες.

Θεοτοκίον.

Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Σαρκωθεὶς ἐκ σοῦ θεοπρεπῶς, Λόγος ὁ ἀσώματος, ὑπερβολῇ φιλανθρωπίας Πάναγνε, πάθει προσωμίλησε, καὶ ἀπάθειαν τοῖς ἀνθρώποις ἐπήγασεν, ὁ δεδοξασμένος Κύριος· ἐνδόξως γὰρ δεδόξασται.

Κανὼν τοῦ Ὁσίου, οὗ ἡ ἀκροστιχίς·

Γεράσιμος μέλπει σοι τῷ Γερασίμῳ. Ἀμήν.

Ἦχος πλ. δ΄. Ἁρματηλάτην Φαραώ.

Στίχ. Ὅσιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Γνῶσίν μοι θείαν καὶ λόγον χορήγησον, Λόγε Θεοῦ καὶ Θεέ, ταῖς τοῦ Γερασίμου, τοῦ σὲ μεγαλύναντος, πρεσβείαις Ὑπεράγαθε, ὡς ἂν τούτου ὑμνήσω, τῶν ἀρετῶν τὰ παλαίσματα, καὶ τὰ τῆς ἀσκήσεως σκάμματα.

Στίχ. Ὅσιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Ἐκ νεαρᾶς τῆς ἡλικίας Ὅσιε, ὅλον ἀνέτεινας, πρὸς Χριστὸν τὸν πόθον, οὐρανίῳ ἔρωτι, καὶ κοσμικὴν τερπνότητα, παριδὼν θεοφρόνως, τούτου τοῖς ἴχνεσιν ἔσπευσας, βίῳ ἰσαγγέλῳ Γεράσιμε.

Δόξα.

Ῥημάτων θείων πληρωτὴς γενόμενος, πάτερ Γεράσιμε, μετανάστης ὤφθης, τῆς πατρίδος Ἅγιε, γονεῖς ἀπαρνησάμενος, καὶ γηίνων τὴν σχέσιν, καὶ ξενιτεύσας ἀπείληφας, πλοῦτον ἀληθῶς τὸν οὐράνιον.

Καὶ νῦν. Θεοτοκίον.

Ἀπειρογάμως τοῦ παντὸς τὸν αἴτιον, ἐν εἴδει τῷ καθ᾽ ἡμᾶς, ὑπὲρ νοῦν καὶ λόγον, τέτοκας Πανάχραντε, ὃ ἦν μὲν διαμείναντα, τοῖς ἀνθρώποις δὲ πᾶσι, τὴν σωτηρίαν βραβεύσαντα, καὶ τὴν ἐκ τοῦ Ἅδου ἀνάκλησιν.

Τῆς Θεοτόκου. ὨΙδὴ γ΄.

Ἦχος πλ. δ΄. Ὁ εἱρμός.

Οὐρανίας ἀψῖδος, ὀροφουργὲ Κύριε, καὶ τῆς Ἐκκλησίας δομῆτορ, σύ με στερέωσον, ἐν τῇ ἀγάπῃ τῇ σῇ, τῶν ἐφετῶν ἡ ἀκρότης, τῶν πιστῶν τὸ στήριγμα, μόνε Φιλάνθρωπε.

Τροπάρια.

Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Προστασίαν καὶ σκέπην, ζωῆς ἐμῆς τίθημι, σὲ Θεογεννῆτορ Παρθένε· σύ με κυβέρνησον, πρὸς τὸν λιμένα σου, τῶν ἀγαθῶν ἡ αἰτία, τῶν πιστῶν τὸ στήριγμα, μόνη Πανύμνητε.

Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Ἱκετεύω Παρθένε, τὸν ψυχικὸν τάραχον, καὶ τῆς ἀθυμίας τὴν ζάλην, διασκεδάσαι μου· σὺ γὰρ Θεόνυμφε, τὸν ἀρχηγὸν τῆς

γαλήνης, τὸν Χριστὸν ἐκύησας, μόνη Πανάχραντε.
Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.
Εὐεργέτην τεκοῦσα, τὸν τῶν καλῶν αἴτιον, τῆς εὐεργεσίας τὸν πλοῦτον, πᾶσιν ἀνάβλυσον· πάντα γὰρ δύνασαι, ὡς δυνατὸν ἐν ἰσχύϊ, τὸν Χριστὸν κυήσασα, Θεομακάριστε.
Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.
Χαλεπαῖς ἀῤῥωστίαις, καὶ νοσεροῖς πάθεσιν, ἐξεταζομένῳ Παρθένε, σύ μοι βοήθησον· τῶν ἰαμάτων γάρ, ἀνελλιπῆ σε γινώσκω, θησαυρὸν Πανάμωμε, τὸν ἀδαπάνητον.

Τοῦ Ἁγίου Ἀρτεμίου. ὨΙδὴ γ΄.
Ἦχος β΄. Ἐξήνθησεν ἡ ἔρημος.

Στίχ. Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.
Μαρτύρων καλλωπίζεσθαι, τοῖς στεφάνοις ἔνδοξε, ἐπιποθῶν ὑπήνεγκας, τῶν μαστίγων καὶ τῶν στρεβλώσεων, τὰς πικρὰς ἀλγηδόνας θείᾳ χάριτι.
Στίχ. Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.
Οὐκ ἔσεισε τὸν πύργον, τῆς σῆς καρδίας πάνσοφε, ἡ σφοδροτάτη πρόσρηξις, τῶν βασάνων· καὶ γὰρ ἐστήρικτο, νοητὴν ἐπὶ πέτραν τὴν ἀσάλευτον.
Στίχ. Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.
Ἰκρίῳ ἀναρτώμενος, καὶ νιφάσι πάντοθεν, τῶν σπαραγμῶν κυκλούμενος, σοῦ τὸ ὄμμα πρὸς τὸν δυνάμενον, ἐνητένιζες σῴζειν ἀξιάγαστε.

Θεοτοκίον.

Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.
Σεσάρκωται βουλήματι, ἐξ αἱμάτων Δέσποινα, σοῦ παναχράντων Κύριος, διασῴζων τὴν ἀνθρωπότητα, καὶ Μαρτύρων τοὺς δήμους ἐπεσπάσατο.

Τοῦ Ὁσίου Γερασίμου. ὨΙδὴ γ΄.
Ἦχος πλ. δ΄. Ὁ στερεώσας κατ᾽ ἀρχάς.

Στίχ. Ὅσιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.
Σταυρὸν βαστάζων τοῦ Χριστοῦ, ἐπὶ τῶν ὤμων σου Πάτερ, ἀπὸ τόπου διατρέχεις εἰς τόπον, ἀναβάσεις τὰς σεπτάς, μυούμενος Γεράσιμε, ἀνδρῶν τῶν ἐναρέτων, ὧν μιμητὴς ὤφθης ἄριστος.
Στίχ. Ὅσιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.
Ἰσχὺν λαβὼν παρὰ Θεοῦ, ὡς ἐνεδύσω τὸ σχῆμα, τῶν ἀγγέλων ἐν τῷ ὄρει τοῦ Ἄθω, ἀπεβάλου πᾶν φθαρτόν, ἐκ τῆς ψυχῆς Γεράσιμε, ἀγγελικὴν ἐν πᾶσιν, ἐπιδεικνύμενος ἄμιλλαν.

Δόξα.

Μαράνας Πάτερ τῆς σαρκός, δι᾽ ἀρετῆς τὰς ὀρέξεις, τὰς ἀφθάρτους δωρεὰς ἐκομίσω, καὶ τὸ σῶμά σου σαφῶς, ἀφθαρτισθὲν Γεράσιμε, ἡ Κεφαλλήνων νῆσος, ὡς θησαυρὸν μέγαν

κέκτηται.

Καὶ νῦν. Θεοτοκίον.

Ὅρος ἐδείχθης νοητόν, ὡς ὁ προφήτης προλέγει, καὶ κατάσκιον χαρίσμασι θείοις, Θεοτόκε Μαριάμ· ἐκ σοῦ γὰρ προελήλυθε, Χριστὸς σῴζων τὸν κόσμον, τοῖς τῆς σαρκὸς αὐτοῦ πάθεσι.

Συναπτὴ μικρά, μεθ' ἣν ἐκφώνησις·

Ὅτι σὺ εἶ ὁ Θεὸς ἡμῶν...

* * *

ΜΕΣΩΔΙΑ ΚΑΘΙΣΜΑΤΑ

Κοντάκιον. Τοῦ Ἁγίου Ἀρτεμίου.

Ἦχος β΄. Τοὺς ἀσφαλεῖς.

Τὸν εὐσεβῆ καὶ στεφηφόρον Μάρτυρα, τὸν κατ' ἐχθρῶν νίκης ἀράμενον τρόπαια, συνελθόντες ἐπαξίως νῦν, ἐν ὑμνῳδίαις εὐφημήσωμεν, Ἀρτέμιον τὸν μέγιστον ἐν Μάρτυσι, θαυμάτων τε δοτῆρα πλουσιώτατον· * πρεσβεύει γὰρ Κυρίῳ, ὑπὲρ πάντων ἡμῶν.

Ὁ Οἶκος.

Τίς τοὺς ἀγῶνας ἐξαρκέσει ἐξειπεῖν Ἀθλοφόρε; ἢ τοὺς πόνους τοὺς σούς, οὕς περ ἀνδρείως ὑπέμεινας διὰ τῆς πίστεως τοῦ Κυρίου, καὶ τῆς χάριτος ἧς περ κατηξιώθης; οὐκ ἐξαρκεῖ διηγήσασθαι στόμα ἀνθρώπινον· σοφίαν γὰρ ἐνδεδυμένος καὶ ἀνδρείαν, τὸν πλοῦτον ἐμίσησας καὶ τὴν ἀξίαν τὴν πρόσκαιρον, στρατιώτης φανεὶς γνησιώτατος. * Καὶ νῦν πρεσβεύεις Κυρίῳ ὑπὲρ πάντων ἡμῶν.

Ἐκ τοῦ Μηναίου. Κάθισμα.

Τοῦ Μεγαλομάρτυρος.

Ἦχος δ΄. Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.

Τὸν στρατιώτην τοῦ Χριστοῦ τὸν ἀήττητον, καὶ καθαιρέτην τοῦ ἐχθροῦ γενναιότατον, τὸν ἐν μεγίστοις τέρασιν ἐκλάμψαντα, ἅπαντες Ἀρτέμιον, εὐφημήσωμεν πίστει· βρύει γὰρ ἰάματα, τοῖς προστρέχουσι πόθῳ, καὶ καταπαύει πάθη χαλεπά, καὶ τῶν ἐν θλίψει, ἀνθρώπων προΐσταται.

Δόξα. Τοῦ Ὁσίου.

Ἦχος πλ. δ΄. Τὴν Σοφίαν καὶ Λόγον.

Ἐν συντόνοις νηστείαις καὶ προσευχαῖς, καὶ πολλαῖς ἀγρυπνίαις δουλαγωγῶν, τὸ σῶμά σου Ὅσιε, τὴν ψυχὴν ἀνεπτέρωσας, πρὸς οὐρανῶν τὰ κάλλη, καὶ δόξαν τὴν ἄῤῥητον, ἧς ὤφθης κληρονόμος, τελέσας τὸν δρόμον σου. Ὅθεν τῶν θαυμάτων, δεδεγμένος τὴν χάριν, πηγάζεις τοῖς χρῄζουσι, δαψιλῶς τὰ ἰάματα, θεοφόρε Γεράσιμε. Πρέσβευε Χριστῷ τῷ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς ἑορτάζουσι πόθῳ, τὴν ἁγίαν μνήμην σου.

Καὶ νῦν. Θεοτοκίον.

Τὴν οὐράνιον πύλην καὶ κιβωτόν, τὸ πανάγιον ὄρος τὴν φωτεινήν, νεφέλην ὑμνήσωμεν, βάτον τὴν ἀκατάφλεκτον, τὸν λογικὸν Παράδεισον, τῆς Εὔας τὴν λύτρωσιν, τῆς οἰκουμένης πάσης, τὸ μέγα κειμήλιον· ὅτι σωτηρία, ἐν αὐτῇ διεπράχθη, τῷ κόσμῳ καὶ ἄφεσις, τῶν ἀρχαίων ἐγκλημάτων· διὸ καὶ βοῶμεν αὐτῇ· Πρέσβευε τῷ σῷ Υἱῷ καὶ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς εὐσεβῶς προσκυνοῦσι, τὸν πανάγιον τόκον σου.

Συναπτὴ μικρά, μεθ' ἣν ἐκφώνησις·

Σὺ γὰρ εἶ ὁ Βασιλεύς...

* * *

ΚΟΝΤΑΚΙΟΝ, ΟΙΚΟΣ, ΣΥΝΑΞΑΡΙΟΝ

Κοντάκιον. Τοῦ Ὁσίου Γερασίμου.

Ἦχος δ'. Ἐπεφάνης σήμερον.

Ἐγκρατείας Ὅσιε τὸν νοῦν καθάρας, καὶ ἁγνείᾳ σώματος καταλαμπρύνας τὴν ψυχήν, ἀνεπτερώθης πρὸς ἄληκτον * καὶ θείαν δόξαν Χριστοῦ τοῦ Θεοῦ ἡμῶν.

Ὁ Οἶκος.

Σὲ τὸν ἐπὶ γῆς νεοφανέντα ἀστέρα καὶ βίῳ ἀγγελικῶν παραδόξως πολιτευσάμενον, καὶ ταῖς φεγγοβόλοις τῶν θαυμάτων ἀκτῖσι τηλαυγῶς ἀναλάμψαντα καὶ σεπτὸν δοχεῖον τοῦ Πνεύματος χρηματίσαντα, καὶ τῷ νοητῷ στερεώματι τῆς Ἐκκλησίας τεθέντα καὶ πᾶσιν ἄφθονος τὰ ἰάματα ἀναβλύζοντα, στέμμασιν εὐφημιῶν ἀναδύομεν καὶ ἀνυμνοῦντες κράζομεν· τὴν Μονήν, καὶ τὴν Νῆσόν σου, Ἅγιε περίσῳζε ἀεὶ ταῖς πρεσβείαις σου, παντὸς κινδύνου ἀπήμονας· σὲ γὰρ φρουρὸν καὶ φύλακα καὶ προστάτην θερμότατον κέκτηται· καὶ τὸ θεῖόν σου σκῆνος σέβουσαι πόθῳ τὸ θαυματόβρυτον ἀκαταπαύστως βοῶσί σοι· Χαίροις τὸ ἡμῶν καύχημα Ὅσιε, ὁ ἀναπτερωθεὶς πρὸς τὴν ἄληκτον, * καὶ θείαν δόξαν Χριστοῦ τοῦ Θεοῦ ἡμῶν.

Συναξάριον.

Τῇ Κ΄ τοῦ αὐτοῦ μηνός. μνήμη τοῦ ἁγίου Μεγαλομάρτυρος Ἀρτεμίου. (†362)

Στίχ. Ὁ πάντα λαμπρὸς Ἀρτέμιος ἐν βίῳ,
Τμηθεὶς ἀπῆλθεν εἰς ὑπέρτατον κλέος.

Εἰκάδι Ἀρτέμιος πυκινόφρων αὐχένα τμήθη.

Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τῆς ὁσίας μητρὸς ἡμῶν Ματρώνης τῆς Χιοπολίτιδος. (†1462)

Στίχ. Λιποῦσα κόσμον ἔμπλεων ἀκοσμίας,
Νύμφη Ματρώνα νῦν παρέστη Νυμφίῳ.

Λιποῦσα κόσμον ἐμπλέων ἀκοσμίας,
Χριστῷ πρόσεισι νυμφικῶς ἡ παρθένος.

Εἰκάδι Ματρώνης δέμας γαῖα κάλιψε θανούσης.

Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τῆς ἀνακομιδῆς (1581) τοῦ σεπτοῦ, ἱεροῦ καὶ ἀφθάρτου λειψάνου τοῦ ὁσίου Πατρὸς ἡμῶν Γερασίμου τοῦ νέου ἀσκητοῦ, ἐν Κεφαλληνίᾳ ἀσκήσαντος. (†1579)

Στίχ. Γεράσιμος κάλλιστον ἥρατο στέφος,
Ἐκ τῆς ἄνωθεν δεξιᾶς τοῦ Κυρίου.
Ὁ ἐν ουρανοῖς ἀσκητὴς λαμπροφόρος
Ἀνατέταλκε τῇ νήσῳ αὐτοῦ σῷος,
Ἵνα σκέπῃ καὶ θάλπῃ αὐτὴν ἐσαεί.

Ταῖς τῶν ἁγίων σου πρεσβείαις, ὁ Θεός, ἐλέησον ἡμᾶς. Ἀμήν.

* * *

Καταβασίαι σύντομαι τῆς Θεοτόκου. Ἦχος Βου ξ

Ψάλλονται ἀπὸ τῆς 22ας Σεπτεμβρίου μέχρι τῆς 7ης Νοεμβρίου, ἀπὸ τῆς 10ης Φεβρουαρίου μέχρι τῆς ἐνάρξεως τοῦ Τριῳδίου, τῇ Β΄, Δ΄ καὶ Ε΄ Κυριακῇ τῶν νηστειῶν καὶ ἀπὸ τῆς Κυριακῆς τῶν ἁγίων Πάντων μέχρι τῆς 26ης Ἰουλίου.

ᾠδὴ α΄

Ἀνοιξω το στομα μου καὶ πληρωθησεται Πνευματος καὶ λογον ερευξομαι τῇ βασιλιδι μητρι καὶ οφθησομαι φαιδρως πανηγυριζων καὶ ασωγηθομενος ταυτης τα θαυματα

ᾠδὴ γ΄

Τους σους υμνολογους θεο τοκε ηζωσας καὶ αφθονος πηγη θιασον συγκροτησαν τας πνευματικους στερεωσας καὶ ενθεα δοξασστε φανων δοξας αξιωσον

ᾠδὴ δ΄

Τὴν ανεξιχνιαστον θειαν βουλὴν της

ᾠδὴ ε΄



ᾠδὴ ϛ΄

ᾠδὴ ζ΄





ᾠδὴ η΄

Αἰνοῦμεν, εὐλογοῦμεν, προσκυνοῦμεν τὸν Κύριον, ὑμνοῦντες καὶ ὑπερυψοῦντες αὐτὸν εἰς τοὺς αἰῶνας.



* * *

Ὁ διάκονος· Τὴν Θεοτόκον ἐν ὕμνοις μεγαλύνομεν.

Η ΩΔΗ ΤΗΣ ΘΕΟΤΟΚΟΥ




ω ω τω ω σω τη ρι μϑ
Βϑ
Την τι μι ω τε ραν των Χε ρου βιμ και εν δο
ξο τε ραν α συγ κρι τως των Σε ρα φειμ την α δι
α φθο ο ρως Θε ον Λο γον τε κου σαν την ον τως Θε
ο το κον σε ε με γα λυ νο μεν
2
Ο τι ε πε βλε ψεν ε πι την τα πει νω
σιν της δϑ λης αυ τϑ ι δϑ γαρ α πο τϑ νυν μα
κα ρι ϑ σι με πα σαι αι γε νε αι
Βϑ
Την τι μι ω τε ραν των Χε ρου βιμ και εν δο
ξο τε ραν α συγ κρι τως των Σε ρα φειμ την α δι
α φθο ο ρως Θε ον Λο γον τε κου σαν την ον τως Θε
ο το κον σε ε με γα λυ νο μεν
3
Ο τι ε ποι η σε μοι με γα λει α ο
δυ να τος και α γι ον το ο νο μα αυ τϑ και
το ε λε ος αυ τϑ εις γε νε αν και γε νε


αν τοις φο βϑ με νοις αυ τον
Την τι μι ω τε ραν των Χε ρου βιμ και εν δο
ξο τε ραν α συγ κρι τως των Σε ρα φειμ την α δι
α φθο ο ρως Θε ον Λο γον τε κου σαν την ον τως Θε
ο το κον σε ε με γα λυ νο μεν
4 Ε ποι η σε κρα τος εν βρα χι ο νι αυ τϑ
δι ε σκορ πι σεν υ πε ρη φα νϑς δι α νοι
α καρ δι ας αυ των
Την τι μι ω τε ραν των Χε ρου βιμ και εν δο
ξο τε ραν α συγ κρι τως των Σε ρα φειμ την α δι
α φθο ο ρως Θε ον Λο γον τε κου σαν την ον τως Θε
ο το κον σε ε με γα λυ νο μεν
5 Κα θει λε δυ να στας α πο θρο νων και υ υ
ψω σε τα πει νϑ ϑς πει νων τας ε νε πλη σεν α γα
θω ων και πλϑ τϑ ϑν τας ε ξα πε στει λε κε νϑ


ὡς
Τ ην τι μι ω τε ραν των Χε ρου βιμ και εν δο
ξο τε ραν α συγ κρι τως των Σε ρα φειμ την α δι α
φθο ρως Θε ον Λο γον τε κου ου ου σαν την ον τως
Θε ο το κον σε ε με γα λυ νο μεν
6
Αν τε λα βε το Ισ ρα ηλ παι δος αυ τὸ
μνη σθη ναι ε λε ὡς κα θως ε λα λη σε προς
τὸς πα τε ρας η μων τω Α βρα αμ και τω σπερ
μα τι αυ τὸ ε ως αι ω νος
Τ ην τι μι ω τε ραν των Χε ρου βιμ και εν δο
ξο τε ραν α συγ κρι τως των Σε ρα φειμ την α δι α
φθο ρως Θε ον Λο γον τε κου ου ου σαν την ον τως
Θε ο το κον σε ε με γα λυ νο μεν
ᾠδὴ θ΄
Α πας γη γε νης σκιρ τα τω τω πνευ μα τι λα
μπα α δὸ χὸ με νος πα νη γυ ρι ζε τω ω δε α



Ἦχος Βου



Συναπτὴ μικρά, μεθ' ἣν ἐκφώνησις·

Ὅτι σὲ αἰνοῦσι πᾶσαι αἱ δυνάμεις...

* * *

ΤΑ ΕΞΑΠΟΣΤΕΙΛΑΡΙΑ
Τοῦ Ἁγίου Ἀρτεμίου.

Τοῖς Μαθηταῖς συνέλθωμεν. Ἦχος Δι



Τοῦ Ὁσίου.

Τῶν Μαθητῶν ὁρώντων σε. Ἦχος Δι





Θεοτοκίον.

Τῶν Μαθητῶν ὁρώντων σε. Ἦχος Δι



Εἰς τοὺς Αἴνους.

Ἦχος Νη





Στιχηρὰ προσόμοια τοῦ Ὁσίου δ΄.

Ὦ τοῦ παραδόξου θαύματος. Ἦχος Νη






Αι νει τε αυ τον εν η χω σαλ πιγ γος αι νει
τε αυ τον εν ψαλ τη ρι ω και κι θα ρα
Ο σι ε πα τερ Γε ρα σι με α πο χω ρων
των εν γη και α παν των υ περ τε ρος των φθαρ των
δει κνυ με νος θε ο λη πτω φρο νη μα τι πο λεις
και το ο πϑς πλει ςϑς δι η μει ψας προς το βρα
βει ει ον της α νω κλη σε ως σπε ευ δων θερ
μο τα τα ϑ τυ χων κα τε λα βες των ε φε των
παν των το α κρο τα τον θε σει θε ϑ ϑ με νος


Αι νει τε αυ τον εν τυ μπα νω και χο ρω αι
νει τε αυ τον εν χορ δαις και αι ορ γα νω
Π α τερ θε ο φρον Γε ρα σι με α πο στα λεις
εκ Θε ϑ ως ϑ ρα νι ος αν θρω πος προς την νη


σον ε φθα σας Κε φαλ λη νων μα κα ρι ε και ταυ
την πλη η σας της ευ λο γι ας σϑ μο νην α
γι ι αν ι δρυ σας Α γι ε ε εν θα μο
να ζϑ σαι κυ κλω τϑ λει ψα νϑ σϑ παν ευ λα βως
μελ πϑ σιν ι στα με ναι τας α ρι στει ει ας σϑ

Αι νει τε αυ τον εν κυμ βα λοις ευ η χοις αι
νει τε αυ τον εν κυμ βα λοις α λα λαγ μϑ
πα σα πνο η αι νε σα τω τον Κυ ρι ον


α τερ παμ μα καρ Γε ρα σι με σε πο λι ϑ
χον θερ μον και προ στα την και ε φο ρον κε κτη με
νη γα νυ ται τοις πολ λοις θαυ μα σι οις σϑ Κε φαλ λη
νι ι α και τω λει ψα νω σϑ α ει προς
πι ι πτει θερ μως βο ω σα σοι ω ως περ δι
ε σω σας πα λαι η μας Α γι ε ϑ τω και νυν και



Δόξα.

Τοῦ Ὁσίου.

Ἦχος πλ. δ΄ Νη ϱ



Μέλος Κωνσταντίνου Γράμπα.





Κ.Γ.

Καὶ νῦν. Θεοτοκίον.

Ἦχος πλ. Δ



* * *

Καὶ εὐθὺς ψάλλεται εἰς τὸν αὐτὸν ἦχον

Η ΜΕΓΑΛΗ ΔΟΞΟΛΟΓΙΑ

Δοξολογία Μανουὴλ Πρωτοψάλτου.




τι ι ας του κο σμου
Π ρο σδε ξαι την δε η σιν η μων ο κα θη με νος εκ
δε ξι ω ων του Πα τρος και ε λε η σον η μας
Ο τι συ ει μο νος Α γι ος Συ ει ει μο νος
Κυ ρι ος Ι η σους Χρι στος εις δο ξαν Θε ου Πα τρος
α μη ην
Κ αθ ε κα α στην η με ραν ευ λο γη σω σε και
αι νε ε σω το ο νο μα α σου εις τον αι ω ω να και
εις τον αι ω να του αι ω νος
Κ α τα ξι ω σον Κυ ρι ε εν τη η με ρα τα
αυ τη α να μαρ τη τους φυ λα χθη ναι η μα ας
Ε υ λο γη τος ει Κυ ρι ε ο Θε ος των πα
τε ε ρων η μων και αι νε τον και δε δο ξα σμε ε νον
το ο νο μα α σου εις τους αι ω νας α μη ην
Γ ε ε ε νοι το Κυ ρι ε το ε λε ος σου εφ η
μας κα θα περ ηλ πι σα α μεν ε πι σε ε


Ε
υ λο γη το ος ει ει Κυ ρι ι ι ε δι δα ξον με
τα δι και ω μα τα σου (τρίς)
Κ
ρι ε κα τα φυ γη ε γεν νη η θης η μιν εν γε
νε α και γε νε α ε γω ει πα Κυ ρι ι ε ε λε
η σο ον με ι α σαι την ψυ χη ην μου ο τι η μαρ τον
σοι
Κ
υ ρι ε προς σε κα τε ε φυ γον δι δα ξο ο ον με
του ποι ειν το θε λη μα α σου ο τι συ ει ο Θε
ο ος μου
Ο
τι πα ρα σοι πη γη ζω ης εν τω φω τι
σου ο ψο με θα φω ως
Π
α ρα τει ει ει νον το ε λε ο ος σου τοις γι νω
σκου σι σε
Α
α γι ος ο Θε ος Α α γι ος Ι σχυ ρος Α γι
ος α θα να τος ε λε η σον η μα ας (τρίς)
Δ
ο ξα Πα τρι ι και Υι ω και α γι ω Πνευ μα



Ἀπολυτίκια.

Τοῦ Μάρτυρος Ἀρτεμίου.

Ἦχος Δι





Ἀπολυτίκιον τοῦ Ὁσίου Γερασίμου.

Ἦχος δ Πα



* * * * *

ΕΙΣ ΤΗΝ ΘΕΙΑΝ ΛΕΙΤΟΥΡΓΙΑΝ

Τὰ ἑξαπλᾶ.

Ἦχος πλ δ Νη





Τὰ Ἁγιορείτικα (καταγραφὴ Μελετίου Συκιώτου).

Ἦχος πλ. δ΄ Νη ζω



Ἀθανασίου Καραμάνη.

Ἦχος πλ. δ΄ Νη ζω







Ἀντίφωνον Α΄. Ἦχος β΄. Ψαλμὸς ρβ΄ (102).

Ἦχος

Στίχ. α΄. Εὐλόγει ἡ ψυχή μου, τὸν Κύριον, καὶ πάντα τὰ ἐντός μου τὸ ὄνομα τὸ ἅγιον αὐτοῦ.



Στίχ. β΄. Εὐλόγει, ἡ ψυχή μου, τὸν Κύριον, καὶ μὴ ἐπιλανθάνου πάσας τὰς ἀνταποδόσεις αὐτοῦ.



Στίχ. γ΄. Κύριος ἐν τῷ οὐρανῷ ἡτοίμασε τὸν θρόνον αὐτοῦ, καὶ ἡ βασιλεία αὐτοῦ πάντων δεσπόζει.



Στίχ. δ΄. Εὐλογεῖτε τὸν Κύριον, πάντα τὰ ἔργα αὐτοῦ, ἐν παντὶ τόπῳ τῆς δεσποτείας αὐτοῦ.



Δόξα. Καὶ νῦν.



Ἀντίφωνον Β΄. Ἦχος β΄. Ψαλμὸς ρμε΄ (145).

Στίχ. α΄. Αἴνει, ἡ ψυχή μου, τὸν Κύριον· αἰνέσω Κύριον ἐν τῇ ζωῇ μου· ψαλῶ τῷ Θεῷ μου ἕως ὑπάρχω.



Στίχ. β΄. Μακάριος, οὗ ὁ Θεὸς Ἰακὼβ βοηθὸς αὐτοῦ, ἡ ἐλπὶς αὐτοῦ ἐπὶ Κύριον τὸν Θεὸν αὐτοῦ.



Στίχ. γ΄. Τὸν ποιήσαντα τὸν οὐρανὸν καὶ τὴν γῆν, τὴν θάλασσαν καὶ πάντα τὰ ἐν αὐτοῖς.



Στίχ. δ΄. Βασιλεύσει Κύριος εἰς τὸν αἰῶνα, ὁ Θεός σου, Σιών, εἰς γενεὰν καὶ γενεάν.



Δόξα Πατρὶ καὶ Υἱῷ καὶ Ἁγίῳ Πνεύματι.



Ὁ διάκονος τὴν μικρὰν συναπτὴν
καὶ ὁ ἱερεὺς τὴν ἐκφώνησιν·
Ὅτι ἀγαθὸς καὶ φιλάνθρωπος...
Ἀντίφωνον Γ΄. (Ἐκλογή).

Ἦχος δ Πα

Στίχ. α΄. Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τῶν ὁσίων αὐτοῦ. (ριε΄ 6)

Στίχ. β΄. Μακάριος ἀνὴρ ὁ φοβούμενος τὸν Κύριον, ἐν ταῖς ἐντολαῖς αὐτοῦ θελήσει σφόδρα. (ρια΄ 1)

Στίχ. γ΄. Τί ἀνταποδώσωμεν τῷ Κυρίῳ περὶ πάντων, ὧν ἀνταπέδωκεν ἡμῖν; (ιε΄ 2)

Ἀπολυτίκιον τοῦ Ὁσίου Γερασίμου.

Ἦχος δ Πα



* * *

ΜΙΚΡΑ ΕΙΣΟΔΟΣ

Εἰσοδικόν. Ἦχος β΄.

(Ἐὰν εἰσοδεύουν πολλοὶ ἱερεῖς, ψάλλουν αὐτοὶ τὸ εἰσοδικόν).

Ἦχος Δι



ὁ β΄ χορός:



* * *

Ἀπολυτίκια.

Τοῦ Μάρτυρος Ἀρτεμίου.

Ἦχος



Ἀπολυτίκιον τοῦ Ὁσίου Γερασίμου.

Ἦχος δ Πα



Εἶτα τὸ Ἀπολυτίκιον τοῦ Ἁγίου τοῦ Ναοῦ.

Κοντάκιον τῆς Θεοτόκου.

(ψάλλεται ὑπὸ τῶν ἱερέων, ἐὰν τελεῖται συλλείτουργον)

Ἦχος πλ. Δι





* * *

Τρισάγιον. Σύντομον.

Ἦχος Δι



* * *

ΤΡΙΣΑΓΙΟΣ ΥΜΝΟΣ

Ἦχος πλ. Δι



Τό τρίτον.











Δύναμις τοῦ βήματος.

Ἦχος Δι









Ἕτερον ὑπό Γεωργίου Κρητός († 1816)

Ἦχος Δι









* * *

ΑΠΟΣΤΟΛΟΣ

Πρὸς Γαλάτας (ε΄ 22-26, Ϛ΄ 1-2).

(Ζήτει τῷΣαββάτω κζ΄ ἑβδομ. ἐπιστολῶν).

Ὁ ἀναγνώστης· Ψαλμὸς τῷ Δαβίδ. Προκείμενον ἦχος βαρύς.

Ὁ διάκονος· Πρόσχωμεν.

Ὁ ἀναγνώστης τὸ προκείμενον καὶ τὸν στίχον αὐτοῦ.

(Ψαλμὸς λβ΄).

Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τοῦ ὁσίου αὐτοῦ.

Στίχ. Τί ἀνταποδώσωμεν τῷ Κυρίῳ περὶ πάντων, ὧν ἀνταπέδωκεν ἡμῖν;

Ἢ ὁ ψάλτης.

Ἦχος Γα ϕ





Ὁ διάκονος· Σοφία.

Ὁ ἀναγνώστης·

Πρὸς Γαλάτας Ἐπιστολῆς Παύλου τὸ Ἀνάγνωσμα.

Ὁ διάκονος· Πρόσχωμεν.

Ἀδελφοί, ὁ καρπὸς τοῦ Πνεύματός ἐστιν ἀγάπη, χαρά, εἰρήνη, μακροθυμία, χρηστότης, ἀγαθωσύνη, πίστις, πραότης, ἐγκράτεια· κατὰ τῶν τοιούτων οὐκ ἔστι νόμος. Οἱ δὲ τοῦ Χριστοῦ τὴν σάρκα ἐσταύρωσαν σὺν τοῖς παθήμασι καὶ ταῖς ἐπιθυμίαις. Εἰ ζῶμεν Πνεύματι, πνεύματι καὶ στοιχῶμεν. Μὴ γινώμεθα κενόδοξοι, ἀλλήλους προκαλούμενοι, ἀλλήλοις φθονοῦντες. Ἀδελφοί, ἐὰν καὶ προληφθῇ ἄνθρωπος ἔν τινι παραπτώματι, ὑμεῖς οἱ πνευματικοὶ καταρτίζετε τὸν τοιοῦτον ἐν πνεύματι πραότητος, σκοπῶν σεαυτόν, μὴ καὶ σὺ πειρασθῇς. Ἀλλήλων τὰ βάρη βαστάζετε, καὶ οὕτως ἀναπληρώσατε τὸν νόμον τοῦ Χριστοῦ.

Ἀλληλούϊα. Ἦχος πλ. β΄. Ψαλμὸς ρια΄ (111).

Ἦχος



ϊ ϊ ϊ ϊ α A α α ϙα α α λλη η λ϶ ϶ ϶


϶ ϊ ϊ α α


Μα κα ρι ος α νηρ ο φο βϷ μενος τον Κυ ρι


ον εν ταις εν το λαις αυ τϷ θε λη η σει σφο ο


ο δρα

Α λλη λϷ ϊ ϊ α A λλη η λϷ ϶ ϶ ϶


ϊ ϊ ϊ ϊ α A α α ϙα α α λλη η λϷ ϶ ϶


϶ ϊ ϊ α α

Ἦχος Πα


Δυ να τον εν τη γη ε σται το σπερμα αυ τϷ

γε νε α ευ θε ε ων ευ λο γη θη η η

σε ε ε ε ται αι αι αι αι αι


Α λλη η λϷ ϊ ϊ α α α α A λλη

λϷ ϶ ϶ ϶ ϶ ϊ ϊ ϊ ϊ α A α α ϙα α α


λλη η η λϷ ϶ ϶ ϶ ϶ ϊ ϊ ϊ ϊ ϊ


α α α α α α α α α α α α α α α α

ΕΥΑΓΓΕΛΙΟΝ

Ἐκ τοῦ κατὰ Ματθαῖον (ια΄ 27-30).

(Ζήτει τῇ Πέμπτῃ τῆς δ΄ ἑβδ. τοῦ Ματθαίου).

Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ Μαθηταῖς· Πάντα μοι παρεδόθη ὑπὸ τοῦ πατρός μου· καὶ οὐδεὶς ἐπιγινώσκει τὸν υἱὸν εἰ μὴ ὁ πατήρ, οὐδὲ τὸν πατέρα τις ἐπιγινώσκει εἰ μὴ ὁ υἱὸς καὶ ᾧ ἐὰν βούληται ὁ υἱὸς ἀποκαλύψαι. Δεῦτε πρός με πάντες οἱ κοπιῶντες καὶ πεφορτισμένοι, κἀγὼ ἀναπαύσω ὑμᾶς. Ἄρατε τὸν ζυγόν μου ἐφ᾽ ὑμᾶς καὶ μάθετε ἀπ᾽ ἐμοῦ, ὅτι πρᾳός εἰμι καὶ ταπεινὸς τῇ καρδίᾳ, καὶ εὑρήσετε ἀνάπαυσιν ταῖς ψυχαῖς ὑμῶν· ὁ γὰρ ζυγός μου χρηστὸς καὶ τὸ φορτίον μου ἐλαφρόν ἐστιν.

Ἦχος ἀ Δι



Χερουβικόν, Ἰωάννου Ἀρβανίτη, ἦχος πλ. Δι




τε ε ε ε ε ε ε ε ες και αι αι αι
τη η η η ζω ο ο ο ποι οι οι οι οι οι οι
ζω ο ο ποι οι ω ω Τρι ι α α α α α α α
α α α α α α α α α α α α Τρι α α
α α δι ι το ον τρι ι σα α α α
γι ι ι ι ο ο ο ον υ υ υ μνο ο ο ο ον
προ σα α α δο ο ο υ μνον προ ο σα α α
δο ο ον τε ες πα α α α α α σα α α α
αν την βι ι ω τι ι κη η η η η η η ην α
πο ο θω ω ω ω ω ω με ε ε ε ε θα α με ε
ρι ι ι μνα α α α α α α α α α αν
Ω ς τον βα σι ι λε ε ε ε ε ε ε
ε ε ε ε ε ε ε βα α σι ι λε ε ε
ε ε ε ε α
Τ ω ων ο ο ο ο ο λω ω ω ω ων υ
πο ο δε ξο ο ο με νοι οι Ται αις α αγ γε



Τὰ Λειτουργικὰ,
ὡς διασώθηκαν ἐν τῇ Μεγάλῃ τοῦ Χριστοῦ Ἐκκλησίᾳ,
κατὰ παράδοσιν ἀρχαιοτάτην. Καταγραφὴ Κ. Ψάχου.

Ἦχος



Τὸ Σύμβολον τῆς πίστεως.

Πιστεύω εἰς ἕνα Θεόν, Πατέρα, παντοκράτορα, ποιητὴν οὐρανοῦ καὶ γῆς, ὁρατῶν τε πάντων καὶ ἀοράτων. Καὶ εἰς ἕνα Κύριον Ἰησοῦν Χριστόν, τὸν Υἱὸν τοῦ Θεοῦ τόν μονογενῆ, τὸν ἐκ τοῦ Πατρὸς γεννηθέντα πρὸ πάντων τῶν αἰώνων· φῶς ἐκ φωτός, Θεὸν ἀληθινὸν ἐκ Θεοῦ ἀληθινοῦ, γεννηθέντα, οὐ ποιηθέντα, ὁμοούσιον τῷ Πατρί, δι᾽ οὗ τὰ πάντα ἐγένετο. Τὸν δι᾽ ἡμᾶς τοὺς ἀνθρώπους καὶ διὰ τὴν ἡμετέραν σωτηρίαν κατελθόντα ἐκ τῶν οὐρανῶν καὶ σαρκωθέντα ἐκ Πνεύματος ἁγίου καὶ Μαρίας τῆς Παρθένου καὶ ἐνανθρωπήσαντα. Σταυρωθέντα τε ὑπὲρ ἡμῶν ἐπὶ Ποντίου Πιλάτου καὶ παθόντα καὶ ταφέντα. Καὶ ἀναστάντα τῇ τρίτῃ ἡμέρᾳ κατὰ τὰς Γραφάς. Καὶ ἀνελθόντα εἰς τοὺς οὐρανοὺς καὶ καθεζόμενον ἐκ δεξιῶν τοῦ Πατρός. Καὶ πάλιν ἐρχόμενον μετὰ δόξης κρῖναι ζῶντας καὶ νεκρούς, οὗ τῆς βασιλείας οὐκ ἔσται τέλος. Καὶ εἰς τὸ Πνεῦμα τὸ ἅγιον, τὸ Κύριον, τὸ ζωοποιόν, τὸ ἐκ τοῦ Πατρὸς ἐκπορευόμενον, τὸ σὺν Πατρὶ καὶ Υἱῷ συμπροσκυνούμενον καὶ συνδοξαζόμενον, τὸ λαλῆσαν διὰ τῶν προφητῶν. Εἰς μίαν, ἁγίαν, καθολικὴν καὶ ἀποστολικὴν Ἐκκλησίαν. Ὁμολογῶ ἓν βάπτισμα εἰς ἄφεσιν ἁμαρτιῶν. Προσδοκῶ ἀνάστασιν νεκρῶν καὶ ζωὴν τοῦ μέλλοντος αἰῶνος. Ἀμήν.

* * *


Ε λε ον ει ρη νης θυ σι αν αι νε σε
ως
Και με τα του Πνευ μα το ος σου
Ε χο μεν προς τον Κυ ρι ον
Α ξι ον και δι ι ι ι ι και ον
Α γι ος Α γι ος Α γι ος Κυ ρι ος Σαβ
βα ωθ πλη ρης ο ου ρα νος και η γη της δο ξης
σου ω σα να εν τοις υ ψι ι στοις ευ λο γη
με νος ο ερ χο με νος εν ο νο μα τι Κυ
ρι ι ου ου ου ω σα να εν τοις υ ψι ι ι
ι ι ι στοις
Α μη η ην
Α μη η η ην
Σε υ μνου ου μεν Σε ευ λο γου ου με ε ε
εν Σοι ευ χα ρι στου μεν Κυ ρι ε και δε ο με
θα α σου ου ου ου ου ο Θε ο ο ο ο ο ο

Γρηγορίου Πρωτοψάλτου. Ἦχος Δι



Τῇ Τρίτῃ. Κοινωνικόν, Πέτρου Λαμπαδαρίου.

Ἦχος Βαρύς Ζω





Ἐκ τοῦ Ταμείου Ἀνθολογίας Θεοδώρου παπα-Παράσχου, Φωκαέως, μετὰ σημάνσεως τῶν ῥυθμικῶν ποδῶν καὶ τῶν ἔλξεων, ὡς καί τινων ἄλλων σημείων, παρὰ Ἰωάννου Β. Ἀρβανίτη, μουσικοδιδασκάλου.

ΑΘΗΝΑΙ 2003

Οἱ ἐντὸς παρενθέσεως ἔλξεις καὶ φθορὲς ἐκτελοῦνται κατὰ βούλησιν.

Ἦχος πλ. Δι



Ἦχος πλ. Δι



Ἦχος πλ. Δι




Δ
(δὶς)
ϐ
νον α πο τϑ νυν και ε ως τϑ αι ω ω νος
Το ο νο μα Κυ ϱι ϑ ει η ευ λο γη
με ε ε ε ε νο ο ο ον
Z΄
α πο τϑ νυν και ε ως
τϑ αι ω ω νο ο ος
χ
Δ